παρεκινδύνευσας, ἐπαιάνισε δ' ὅτι σε τὸν πόδα τοῦτον εὐτύχησεν ἄβλητον. οὕτως ὑμῖν ξυμπαθέα ταῦτα καὶ ξύμφωνα· καὶ σὺ μὲν ὡς κεφαλῆς τοῦ βασιλέως ὑπερμαχόμενος, ὁ δ' ὡς κεφαλὴ τοῦ ποδὸς ὑπεραλγῶν καὶ τοῦ παρασπιστοῦ προκηδόμενος, οὕτω τὴν πορφύραν οἱ βασιλεῖς βάπτετε, οὕτως οἱ παρασπισταὶ τοῦ βασιλέως προκινδυνεύετε καὶ τῆς κεφαλῆς οἱ πόδες προασπίζοντες βάλλεσθε.

11 Τὰ μὲν οὖν Σκυθῶν οὕτω καὶ δὴ παντελῶς ἐξηρήμωται καὶ ὅ φασιν 'ἐρημία Σκυθῶν' ὡς ἀληθῶς βαθεῖα γεγόνασι, τὰ δὲ τῆς Ἀσίας — ἀλλ' ἐπῆλθες καὶ ὅσον κακὸν Ἀσιανὸν ἐξαιρήσων ἀλλόφυλον καί σοι τῷ μετὰ τῆς εὐσεβείας Ἡρακλεῖ καὶ προασπιστὴς Ἰόλεως ξυνεφείπετο, ταῖς τομαῖς τὸν καυτῆρα προσεπιθήσων καὶ τὰς ὑδρογενεῖς κεφαλὰς τὰς παλιμφυεῖς καθαιρήσων καὶ συγκαθαιρήσων πολυκέφαλον τέρας ἕτερον βάρβαρον. ἐνταῦθα καὶ πάλιν σὺ μὲν τῷ βασιλεῖ ὡς ἐν ἐκστάσει τὰς τῶν ἀνόμων κεφαλὰς ἔκοπτες καὶ καθῄρεις τὸν | βάρβαρον ⟨. . .⟩ τὸν μεγαλαύχενα· 528v] ὁ δέ σοι παρασπιστὴς διεπονεῖτο περὶ τὴν μάχην καὶ τῶν δυσμενῶν ἀνήρπασε τὰς φάλαγγας καὶ ὡσεὶ κεραυνὸς τοὺς πολεμίους ἀπέφραξεν. ἀλλὰ σὲ τὸν ἐμὸν ἀλεξίκακον ὑποδύεταί τις καὶ αὖθις ἀνὴρ αἱμάτων καὶ δολιότητος (καρκίνον ἂν εἴποι τις) λοξοδρομῶν τὴν ἀσέβειαν· καὶ τὸν πόδα βάλλειν σοφίζεται, αὐτὸν δηλαδή σοι τὸν ὑποστράτηγον, ὡς ἐκεῖνον πάλαι τὸν ἐν μύθοις καλλίνικον ὁ τοῦ μύθου καρκίνος καὶ τῆς ὕδρας ὑπερμαχῶν τοὺς πόδας ὑπέκνιζεν. ὢ οἷον σὺ καὶ τότε, ὦ αὐτοκράτορ, ἐβέβλησο. ὢ οἷόν σοι τὸ τῆς λύπης διακάρδιον τῷ βέλει συνεπαφῆκεν ὁ βάρβαρος. πλείω τοῦτον ἤλγησας τὸν πόδα βαλλόμενος ἢ ὃν ὁ Μασσαγέτης ἐκεῖνος εἰς βάθος ὑπέγραψε.

12 Σὺ δέ, τἄλλα καὶ πάντα συμπνέων τῷ αὐτοκράτορι, χαίροντι συνηδόμενος καὶ ἀλγοῦντι συμπαθαινόμενος, τοῦτο καὶ μόνον ἦσθα τὴν γνώμην αὐτοῦ διάφορος· ὁ μὲν γὰρ ὡς κεφαλὴ τοῦ ποδὸς ὑπερήλγει καὶ ἐσχετλίαζε, σὺ δὲ ὁ ποὺς τὴν κεφαλὴν ἐφεδρεύουσαν ὁρῶν ἄβλητον ἔχαιρες. τοῦτό σοι τὸ τοῦ πράγματος βαρυάλγητον ἀνεκούφιζεν, εἶχες καὶ τὴν τοῦ πάθους